UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

XXV. De Eudoxii Germaniciensis Episc. novitate: & de Basilii Ancyrani atque Eustathii Sebasteni adversus illum contentione.

**urn:nbn:de:hbz:466:1-14162**

Visual Library

quidem plerosque habuit hæreticâ labe contaminatos. Populi vero maxima pars rectam fidei doctrinam tuebatur. Neque enim ii quibus docendi cura erat injuncta, blasphemiam suam palam efferre audebant. Verum quæcunque à Flaccillo, Stephano ac Leontio impie & inique gesta sunt Antiochiæ, peculiari commentario opus habent ob multitudinem: & Davidico carmine plangenda sunt ob magnitudinem. Nam de his quoq; dici par est: Quoniam ecce inimici tui sonuerunt, & qui oderunt te extulerunt caput. Super populum tuum dolos intenderunt, & consilium inierunt adversus Sanctos tuos. Dixerunt, venite & deleamus eos de gente, & non memoretur ultra nomen Israel. Nos vero reliquam historiam prosequamur.

A χότας. ὁ δὲ λαὸς τὸ πλεῖστον, τῶν ὀρθῶν ὑπερεμάχει δογμάτων. οὐδὲ γὰρ οἱ τὰς διδασκαλίας προσφέροντες, γυμνοῦν ἐθάῤῥουν τὴν βλασφημίαν. ὅσα μὲν οὖν φλάκιλλος καὶ στέφανος καὶ λεόντιος δυσσεβῆ καὶ παράνομα ἐν ἀντιοχείᾳ δεδράκασι, συγγραφῆς μὲν οἰκείας δεῖται διὰ τὸ πλῆθος. τῆς δὲ τοῦ δαβὶδ θρηνῳδίας, διὰ τὸ μέγεθος. καὶ περὶ τούτων γὰρ λέγειν χρὴ, ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν. ἐπὶ τὸν λαόν σου B κατεπανουργεύσαντο γνώμην, καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου. εἶπον δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα ἰσραὴλ ἔτι. ἡμεῖς δὲ τὰ λοιπὰ τῆς ἱστορίας συγγράψωμεν.

## Cap. XXV.

*De Eudoxii Germaniciensis Episcopi novitate: & de Basilii Ancyrani atque Eustathii Sebasteni adversus illum contentione.*

GERMANICIA urbs est Euphratensis, ut vocant, provinciæ, sita in confinio trium provinciarum, Ciliciæ, Syriæ & Cappadociæ. Hujus urbis antistes Eudoxius, comperta Leontii morte, confestim Antiochiam profectus est: raptoque per vim Episcopatu, instar apri silvestris vineam Domini devastavit. Neque enim Leontii exemplo improbitatem suam tegebat, sed adversus Apostolicam doctrinam propalam furens, eos qui contradicere auderent, omni calamitatum genere vexabat. Per idem tempus, Ancyræ quæ metropolis est Galatiæ, Ecclesiam gubernabat Basilius, successor Marcelli. Eustathius vero Episcopatum gerebat Sebastiæ quæ caput erat Armeniæ. Hi cùm Eudoxii iniquitatem & rabiem comperissent, quænam ille ausus fuisset, Constantio per litteras significarunt. Is in Occidentis partibus etiam tum morabatur; & post cædem tyrannorum, vulneribus quæ illi reipublicæ inflixerant sanandis operam dabat. Porro ambo familiares erant Imperatori, & ob eximiam vitæ sanctimoniam summa apud eum auctoritate ac fiducia pollebant.

## Κεφ. κέ.

*Περὶ τῆς εὐδοξίου τοῦ γερμανικείας καινοτομίας, καὶ βασιλείου τοῦ ἀγκύρας, καὶ εὐσταθίου τοῦ σεβαστείας κατὰ τούτου γεγενημένης σπουδῆς.*

ΓΕρμανίκεια πόλις ἐστὶν ἐν μεθορίῳ τῆς κιλίκων καὶ σύρων καὶ καππαδοκῶν κει- C μένη. εἰς δὲ τὴν εὐφρατησίαν καλουμένην ἐπαρχίαν τελεῖ. τῆς δὲ τῆς ἐκκλησίας προστατῶν εὐδόξιος, εἶτα λεόντιον τεθνηκέναι μαθὼν, κατέλαβε μὲν τὴν ἀντιόχειαν. ἥρπασε δὲ τὴν προεδρείαν, συὸς ἀγρίου δίκην λυμαινόμενος τὸν ἀμπελῶνα τὸν θεῖον. οὐδὲ γὰρ λεοντίῳ παραπλησίως τὴν κακοήθειαν συνεκάλυπτεν. ἀλλ' ἄντικρυς κατὰ τῶν ἀποστολικῶν ἐλύττα δογμάτων, καὶ τοὺς ἀντιλέγειν τολμῶντας παντοδαπαῖς περιέβαλε συμφοραῖς. κατὰ τοῦτον δὲ τὸν χρόνον, ἀγκύρας μὲν τῆς γαλατῶν μητροπόλεως βασίλειος κατεῖχε τὰ τῆς D ἐκκλησίας πηδάλια, μάρκελλον διαδεξάμενος. εὐστάθιος δὲ σεβαστείας ἡγεῖτο, ἣ τῆς ἀρμενίας ἐπρώτευεν. οὗτοι τὴν εὐδοξίου παρανομίαν καὶ λύτταν μεμαθηκότες, κωνσταντίῳ τῷ βασιλεῖ τὰ τολμηθέντα διὰ γραμμάτων ἐδήλωσαν. ἔτι δὲ οὗτος ἐν τῷ πρὸς δυόμενον ἥλιον διέτριβε τμήματι, τὴν παρὰ τῶν τυράννων γεγενημένην βλάβην ἰώμενος μετὰ τὴν ἐκείνων ἀναίρεσιν. συνήθεις δὲ ἦσαν οὗτοι τῷ βασιλεῖ, καὶ πλείστης ὅσης διὰ τὴν ἀξιέπαινον βιοτὴν ἀπήλαυον παῤῥησίας.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN